## LXXI [Ant. Thess. LXXXVII G.–P.]

τίπτε, γύναι, πρὸς Ὄλυμπον ἀναιδέα χεῖρ' ἀνένεικας,
ἔνθεον ἐξ ἀθέου κρατὸς ἀφεῖσα κόμαν;
Λατοῦς παπταίνουσα πολὺν χόλον, ὦ πολύτεκνε,
νῦν στένε τὰν πικρὰν καὶ φιλάβουλον ἔριν.
ἁ μὲν γὰρ παίδων σπαίρει πέλας, ἁ δὲ λιπόπνους
κέκλιται, ᾇ δὲ βαρὺς πότμος ἐπικρέμαται·
καὶ μόχθων οὔπω τόδε σοι τέλος, ἀλλὰ καὶ ἄρσην
ἔστρωται τέκνων ἑσμὸς ἀποφθιμένων.
ὦ βαρὺ δακρύσασα γενέθλιον, ἄπνοος αὐτά
πέτρος ἔσῃ, Νιόβα, κάδεϊ τειρομένα.

# DIONYSIUS

## I

πρηΰτερον γῆράς σε καὶ οὐ κατὰ νοῦσος ἀμαυρή
ἔσβεσεν, εὐνήθης δ' ὕπνον ὀφειλόμενον,
ἄκρα μεριμνήσας Ἐρατόσθενες· οὐδὲ Κυρήνη
μαῖά σε πατρῴων ἐντὸς ἔδεκτο τάφων,
Ἀγλαοῦ υἱέ· φίλος δὲ καὶ ἐν ξείνῃ κεκάλυψαι
πὰρ τόδε Πρωτῆος κράσπεδον αἰγιαλοῦ.

## II

πρώιος ἀλλὰ ποθεινὸς ὅσοι πόλιν Ἰαλύσοιο
ναίομεν εἰς Λήθης πικρὸν ἔδυς πέλαγος,